# TEZAUR LITURGIC

## 21 OCTOMBRIE

## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA SF.CUVIOS FILOTEI DE LA DIONISIU-ATHOS

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 21 ΟΚΤΩΒΡΙΟΣ

# ΦΙΛΟΘΕΟΣ ΟΣΙΟΣ ΑΓΙΟΡΕΙΤΗΣ

# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

## ΕΣΠΕΡΙΝΟΣ

*Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.*

Πάτερ Φιλόθεε τὴν σήν, κλῆσιν ἀληθεύουσαν, τῇ πολιτείᾳ σου ἔδειξας, ἀπὸ νεότητος, τοῦ Θεοῦ γὰρ φίλος, ὤφθης ἐνθεώτατος, καὶ σκεῦος ἀρετῆς δι' ἀσκήσεως, διὸ τὴν μνήμην σου, τὴν ἁγίαν, ἑορτάζοντες, ἀνυμνοῦμεν τὸν σὲ θαυμαστώσαντα.

Πάτερ Φιλόθεε ῥυσθείς, ἐμφανείᾳ κρείττονι, τῆς τοῦ Χριστοῦ Μητρὸς Ὅσιε, δεινῆς καθείρξεως, καὶ καθυπακούσας, ταύτης θείων ῥήσεων, ἀσκήσεως ἀγῶνι διέλαμψας, καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Πάτερ Φιλόθεε τρωθείς, οὐρανίῳ ἔρωτι, καθάπερ Ἄγγελος ἔζησας, βίου λαμπρότητι, ἐν Μονῇ μὲν πρώην, τοῦ Προδρόμου Ὅσιε, καὶ εἶτα ἡσυχίας τοῖς

σκάμμασι, Χριστὸν ἐδόξασας, καταισχύνας τὸν ἀλάστορα, ἐπελθόντας ὑπούλως σοι Ὅσιε.

Πάτερ Φιλόθεε Χριστοῦ, μιμητὴς γενόμενος, εἰς ἀπαθείας ἀνέδραμες, ὕψος ἀκρότατον, ταπεινοφροσύνης, χάριτι κοσμούμενος, ἐντεῦθεν ἐνετείλω τὸ σῶμά σου, εἰς ἄλσος ἄταφον, ἀποῤῥίψαι, μετὰ θάνατον, ἀθανάτου τιμῆς ἐφιέμενος.

Πάτερ Φιλόθεε φωτί, οὐρανίῳ λάμπουσα, καθάπερ ἄστρον πολύφωτον, ὤφθη ἡ Κάρα σου, ἔνδοθεν τοῦ δάσους, ἣν πιστῶς κομίσαντες, ὡς θεῖον θησαυρὸν καὶ πολύτιμον, χαρᾶς ἐπλήσθησαν, ἣν ἡμεῖς νῦν προσπτυσσόμενοι, θείαν χάριν, ἐξ αὐτῆς λαμβάνομεν.

Πάτερ Φιλόθεε ὡς ὢν, φίλος Θεοῦ γνήσιος, καὶ πρὸς Αὐτὸν πολλὴν Ὅσιε, πλουτῶν οἰκείωσιν, ἐκτενῶς δυσώπει, δοῦναι ἡμῖν ἄφεσιν, πταισμάτων καὶ παθῶν ἀπολύτρωσιν, τοῖς τὴν ἁγίαν σου, ἑορτάζοντες, πανήγυριν, καὶ τιμῶσι τὴν πάνσεπτον Κάραν σου.

*Δόξα. Ἦχος β΄.*

Ὑπελθὼν τὸν ζυγὸν τοῦ Χριστοῦ Ὅσιε, τῇ τῆς Θεοτόκου κλήσει, ἀπὸ νεότητος ἀνάθημα θεῖον, καὶ προσφορὰ εὐπρόσδεκτος, τῷ Σωτῆρι ὤφθης, ὅλη γὰρ ψυχῇ καὶ καρδίᾳ, ἀνετέθης τῷ Θεῷ τὴν φιλίαν τῆς σαρκὸς ἀποῤῥίψας, καὶ ἐναρέτοις πράξεσι, τὸ ἐν σοὶ προτυπωθέν, εἰς ἔργον ἀγαγών. Διὸ ἐν σοὶ ἐπανεπαύσετο, ἡ Τριὰς ὁ Θεὸς ἡμῶν, ὡς καθαρωτάτῳ

καὶ πράῳ, καὶ ταπεινῷ τῇ καρδίᾳ. Ἀλλ’ ὦ Πάτερ Φιλόθεε, παῤῥησίαν ἔχων πρὸς Χρισόν, ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νῦν. Θεοτοκίον.*

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης, ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος ἔμεινας, ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος, ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ΄, 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καί ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἄξιους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰώνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καί

ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. ι΄ 32-ια΄ 12)*

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· Στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρός δικαίου οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν

χρησιμώτερον οὐδὲν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων, καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγῳ αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μὴ με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. δ΄. 7-15).*

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικίᾳ γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν

μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἤ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Εὐφραίνονται ἐνθέως, ἡ σὲ ἀνθήσασα πόλις, καὶ ἡ Βαπτιστοῦ θεία Μάνδρα, καυχώμεναι τῇ δόξῃ σου Πάτερ, ἡ μὲν γὰρ ὡς μήτηρ καλλίγονος, εὐσεβῶς σε ἐβλάστησεν, ἡ δὲ ὡς δῶρον εὐπρόσδεκτον δι’ ἀσκητικῶν καμάτων, Χριστῷ σε προσήγαγε, καὶ ἀμφότεραι τῶν πρεσβειῶν σου, τὰς δωρεὰς καρπούμεναι, τῆς θεϊκῆς χρηστότητος ἀξιοῦνται, καὶ παθῶν καὶ θλίψεων ῥύονται, τὴν σὴν τελοῦσαι μνήμην. Ἀλλ’ ὦ Φιλόθεε μακάριε, τὸν θεῖον ἡμῖν αἴτει, ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

*Ἦχος β΄.*

Ἀσκητικῶς ἀγωνισάμενος Ὅσιε, θεοσδότων χαρισμάτων ἐτρύφησας, ἀνακαθάρας σεαυτόν, πάσης γηΐνης σχέσεως, ἀνενδότως γὰρ Χριστῷ ἠκολούθησας, τὸν Σταυρὸν ἀράμενος, καὶ τὴν μὲν σάρκα ἐνέκρωσας,

τὴν δὲ ψυχὴν ἐπτέρωσας, τῇ τῶν κρειττόνων ἐφέσει, καὶ ἀρετῶν δοχεῖον γενόμενος, τῆς ταπεινώσεως τὴν χάριν, καὶ τὴν ἐκ ταύτης λαμπρότητα, πᾶσιν ὑπέδειξας, καὶ νῦν Πάτερ Φιλόθεε, τῷ ἀκροτάτῳ τῶν ἐφετῶν προσπελάζων, ἱκέτευε δεόμεθα ὑπὲρ τῶν τιμώντων σε.

*Ἦχος γ΄.*

Τὴν πολλήν σου ταπείνωσιν, ὁ τοὺς ταπεινοὺς ἀνυψῶν δοξάζων Κύριος, οὐρανίῳ φωτὶ ἐμεγάλυνε, τὴν Κάραν σου Ὅσιε, καὶ τῆς θείας χάριτος κατοικητήριον ταύτην δείξας, ἡμῖν ἐδωρήσατο, ὡς ἄναιον δώρημα, καὶ θησαυρὸν πολύτιμον, ᾗ εὐλαβῶς προσπίπτοντες μετὰ πόθου βοῶμέν σοι· χαίροις Πάτερ Φιλόθεε τοῦ Παρακλήτου σκήνωμα, καὶ ἀπαθείας λειμὼν εὐωδέστατε καὶ πρεσβευτὰ πρὸς Θεὸν ἡμῶν ἐνθεώτατε

*Δόξα. Ἦχος δ΄.*

Τῆς φιλοθέου ζωῆς σου αἱ ἀρεταί, ὡς στήλη θεοτύπως πρόσκεινται ἡμῖν, θεοφόρε Φιλόθεε, ἁγιασθεὶς γὰρ ἐν Ἁγίῳ Πνεύματι, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, Θεῷ ἐλάτρευσας, ὅθεν ἐν σοὶ ὁρῶμεν, πτωχείαν πνεύματος, ὑπακοὴν ἀνυπόκριτον, ὑπομονὴν καὶ ἀνδρείαν, καὶ ζῆλον ἔνθεον, πρὸς πᾶσαν ἄλλην ὁσίαν, καὶ ἐνάρετον ἐπίδοσιν, δι᾽ ὧν ἔξω κόσμου καὶ σαρκὸς γενόμενος, τοῖς ἀπ᾽ αἰῶνος Ἁγίοις συνήφθης, καὶ τῷ ξύλῳ τῆς ζωῆς ἀποκατέστης. Αὐτοῦ καὶ ἡμᾶς ἀξίωσον, θεοδέκτοις λιταῖς σου Πάτερ ἁγιώτατε.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων…

*Εἰς τὸν στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, ὁ ἐκ παιδὸς τῷ Θεῷ, ἀνατεθεὶς τῇ ὁδηγίᾳ Φιλόθεε, Παρθένου τῆς Παναγίας, ὑφ' ἧς ῥυσθεὶς φυλακῆς, τῷ Χριστῷ ἀμέμπτως ἠκολούθησας, καὶ βίου λαμπρότητι, και ὁσίοις παλαίσμασι, Αὐτὸν δοξάσας, οὐρανίου ἠξίωσαι, δόξης κρείττονος, καὶ φωτὸς ὑπὲρ ἔννοιαν, ὅθεν σὲ μακαρίζομεν, ὁσίως βιώσαντα, καὶ τὴν ἁγίαν σου μνήμην, ἐπιτελοῦντες βοῶμέν σοι· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στ.: *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Χαίροις, ὁ φερωνύμως Θεοῦ, φίλος γενόμενος Φιλόθεε Ὅσιε, φιλίαν σαρκὸς μισήσας, καὶ δι' ἀγάπης Αὐτοῦ, γεωργήσας Πάτερ τὴν λαμπρότητα, ἐντεῦθεν πεπλήρωσαι, οὐρανίων ἐλλάμψεων, καὶ μυροθήκη, ἀνεδείχθης τῆς χάριτος, τῇ τῶν τρόπων σου θεοφόρε ἁπλότητι, ὅθεν καὶ κατηξίωσαι, προλέγειν τὰ μέλλοντα, ἐκ θεϊκῆς ἐπιπνοίας, καὶ προορᾶν τὰ ἐσόμενα. Καὶ νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Βίῳ, ἀγγελικῷ δοξασθείς, ἐμεγαλύνθης τῇ τοῦ Πνεύματος χάριτι, Φιλόθεε θεοφόρε, οἷα θεράπων Θεοῦ, καὶ Αὐτῷ ἐν πᾶσιν οἰκειότατος, ἐντεῦθεν ἡ Κάρα σου, ὥσπερ ἄστρον πολύφωτον, ἔνδον τοῦ δάσους, καθωράθη καὶ δέδοται, τοῖς ποθοῦσί σε, οἷ δῶρον πολύτιμον, ἣνπερ νῦν ἀσπαζόμενοι, βοῶμέν σοι Ὅσιε· δίδου ἡμῖν οὐρανόθεν, τὴν πατρικὴν εὐλογίαν σου, ἡμᾶς ἐνισχύων, κατὰ πάσης μεθοδείας τοῦ παναλάστορος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τῷ πυρὶ τῆς ἀσκήσεως, τὸ τῆς σαρκὸς ἀναλώσας φρόνημα, τὴν ψυχὴν ἐλάμπρυνας θείῳ Πνεύματι Ὅσιε, ὡς γὰρ Ἄγγελος ἐν γῇ, ὤφθης βιοτεύων, καὶ ἀγγελικοῖς χαρίσμασι, τὴν ἐν σοὶ κεκρυμμένην χάριν, πᾶσιν ἐξέφηνας. Καὶ νῦν Ἄγγελοι συνών, σὺν αὐτοῖς ἱκέτευε, Φιλόθεε Πάτερ, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου…

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.*

Θείᾳ χάριτι, τῆς Θεοτόκου, ὡς λελύτρωσαι, χειρῶν ἀπίστων, ἐν Νεαπόλει ὁσίως ἐμόνασας, καὶ ἐν τῷ Ἄθῳ ἀσκήσας Φιλόθεε, φίλος Θεοῦ φερωνύμως γεγένησαι,

Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ὡς φίλος θερμότατος τοῦ τῶν ἁπάντων Θεοῦ, Φιλόθεε Ὅσιε, τῇ σῇ ἁγίᾳ ζωῇ, ἐνθέως δεδόξασαι· ὅθεν τὴν τῶν θαυμάτων, δωρεὰν κεκτημένος, νέμεις τοῖς σὲ τιμῶσι, δαψιλῶς τὴν σὴν χάριν, πρεσβεύων τῷ Σωτῆρι ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα. Ἕτερον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Χρυσουπόλεως γόνος καὶ τοῦ Ἄθω ὡράϊσμα, καὶ Μονῆς τοῦ Προδρόμου δένδρον ὤφθης κατάκαρπον, βιώσας ὥσπερ Ἄγγελος ἐν γῇ, Φιλόθεε θεράπον τοῦ Θεοῦ, διὰ τοῦτο σὲ τιμῶμεν ἀσματικῶς, ἀπὸ ψυχῆς βοῶντές σοι· δόξα τῷ δεδωκότι σοὶ ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σου πᾶσιν ἰάματα.

*Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.*

Τοῦ Γαριῆλ φθεγξαμένου Σοὶ Παρθένε τὸ χαῖρε...

*Ἀπόλυσις.*

# ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ στιχολογίαν, κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Ὡς φίλον σὲ Θεοῦ, καὶ θεράποντα θεῖον, καὶ μύστην ἀρετῆς, καὶ ἀσκήσεως κρίνον, γεραίρομεν Φιλόθεε, ἐκτελοῦντες τὴν μνήμην σου, ἐν ᾗ βράβευσον, ἡμῖν τὴν σὴν εὐλογίαν, διδοὺς ἅπασι, ἰσχὺν κατὰ τοῦ Βελίαρ, ταῖς σαῖς ἀντιλήψεσι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὡς φέρουσα χερσί, τὸν Ὑπέρθεον Λόγον, τεχθέντα ὑπὲρ νοῦν, ἐξ ἁγνῶν Σου αἱμάτων, καθέδρα ὑπερένδοξος, τοῦ Θεοῦ ὤφθης Ἄχραντε, Ὃν ἱκέτευε, πάσης ἀνάγκης ῥυσθῆναι, τοὺς προστρέχοντας, τῇ κραταιᾷ Σου πρεσβείᾳ, καὶ Σὲ μεγαλύνοντας.

*Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Ὡς ἐῤῥύσθης τῆς εἱρκτῆς, ἐπιστασίᾳ τῇ φρικτῇ, τῆς Παρθένου καὶ Ἁγνῆς, ἐπιφανείσης σοι σοφέ, τῇ τῆς μητρός σου μορφῄ τε καὶ σχήματι, προθύμως τῷ Χριστῷ κατηκολούθησας, καὶ Ἄγγελος ἐν γῇ, ὤφθης ἐν σώματι, καὶ νῦν Ἀγγέλων χοροῖς συνὼν Ἅγιε, καὶ τῶν Ἁγίων συστήμασιν, ἀεὶ δυσώπει, δίδοσθαι πᾶσιν, ἀπὸ Θεοῦ θεῖον ἔλεος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ γαστρός Σου προελθών, ὁ τῶν ἁπάντων συνοχεύς, ἐκαινούργησεν ἡμῶν, παλαιωθεῖσαν τῇ ἀρᾷ, Θεογεννῆτορ τὴν φύσιν δι᾽ εὐσπλαγχνίαν, ὅθεν Σὲ πιστῶς μακαρίζομεν, ὡς βλύσασα ἡμῖν, ζωὴν αἰώνιον, τῷ ὑπὲρ νοῦν τοκετῷ Σου Θεόνυμφε, καὶ ἐκτενῶς ἐκβοῶμέν Σοι· ἀεὶ δυσώπει, διδόναι λύσιν, ἡμῖν πταισμάτων τοῖς Σὲ δοξάσουσι.

*Μετὰ τὸν Πολυέλεον, κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Ἐγκρατείᾳ νεκρώσας σαρκὸς τὸ φρόνημα, ἀπαθείας ἀκτῖσι τὴν σὴν λαμπρύνεις ψυχήν, καὶ δοχεῖον καθαρὸν ὤφθης τοῦ Πνεύματος, παρ᾽ Οὗ τὰ πόῤῥῳ προορᾶν, εἰληφὼς τὴν δωρεάν, Φιλόθεε θεοφόρε, διὰ παντὸς ἐκδυσώπει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὸν Θεὸν ἀποῤῥήτως κυοφορήσασα, τοῦ Ἀδὰμ τὴ κατάραν Ἁγνὴ ἀνέτρεψας, καὶ εὐλογίαν καὶ ζωὴν ἡμῖν ἐπήγασας, διὰ τοῦτο οἱ πιστοί, κατὰ χρέος Σὲ ἀεί, ὑμνοῦμεν καὶ εὐλογοῦμεν, καὶ Θεοτόκον κυρίως, ὁμολογοῦμέν Σε Πανύμνητε.

Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν΄ Ψαλμός.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλεήμων, ἐλέησόν με ὁ Θεός...*

Ὡς τῆς ἀλήκτου ζωῆς κληρονόμος καὶ τῆς χαρᾶς τῶν ἐκλεκτῶν κοινωνός, Φιλόθεε Ὅσιε, ἐκ θανάτου ἁμαρτίας ἡμᾶς λύτρωσαι, καὶ ἀκλινῶς ἐνίσχυσον, τὴν ὁδὸν βαδίζεις τῆς ζωῆς, ὡς ἄν τῆς οὐρανίου παστάδος ἐπιτύχωμεν.

Οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς: *Φίλον Θεοῦ με ποίησον Πάτερ. Γερασίμου.*

*Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.*

Φωτὸς τοῦ θείου κληρονόμος Ὅσιε δι’ ἐναρέτου ζωῆς, ἀληθῶς ἐγένου, καὶ τὴν ὑπὲρ ἔννοιαν, ὁρῶν Θεοῦ λαμπρότητα, φωτισμόν μοι παράσχου, ὅπως ὑμνήσω Φιλόθεε, τὰ τῆς πολιτείας σου σκάμματα.

Ἰσχὺν τὴν θείαν ἐνεδύσω Ὅσιε ὡς ἐλυτρώθης εἱρκτῆς, τῇ ἐπιφανείᾳ, τῆς Ἁγνῆς Θεόπαιδος, καὶ μοναστῶν συστήματι, προσεχώρησας χαίρων, ἀσκητικῶς γυμναζόμενος, καὶ θεοειδὴς γνωριζόμενος.

Λελαμπρυσμένῃ διανοίᾳ Ὅσιε ὁδηγηθεῖς ἀσφαλῶς, πρὸς Μονὴν ἁγίαν, προμηθείᾳ κρείττονι, ὑπὸ τῆς Θεομήτορος, ἐνεδύσω τὸ σχῆμα, τῶν μοναζόντων Φιλόθεε, καὶ Θεῷ ὁσίως ἐδούλευσας.

*Θεοτοκίον.*

Ὁ τῶν αἰώνων Ποιητὴς καὶ Κύριος δι᾽ εὐσπλαγχνίαν πολλήν, ἐκ τῶν Σῶν αἱμάτων, σάρκα περιθέμενος, ἀναλλοιώτως Πάναγνε, προστασίαν Σε κόσμου, καὶ ἀσφαλὲς καταφύγιον.

*Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.*

Νεκρώσας ἅπαν τῆς σαρκός, τὸ φρόνημα ἐγκρατείᾳ, καθυπέταξας ἐχθρὸν τοῖς ποσί σου, τῇ στεῤῥᾷ ὑποταγῇ, καὶ πόνων ἐπιδόσεσι, ζωῆς τῆς μακαρίας, Πάτερ θεόφρον Φιλόθεε.

Θεοῦ θεράπων ἀληθής, καὶ φίλος τε καὶ οἰκεῖος, φερωνύμως ἀρετῶν τῇ ἀσκήσει, ἀναδέδειξαι σοφέ. Φιλίας τῆς τοῦ χείρονος, ὁλοσχερῶς μακρύνας, νοΐ τελείῳ Φιλόθεε.

Ἐχθρὸς ὁ βάσκανος ὁρῶν, τὴν σὴν σεμνὴν πολιτείαν, καὶ ψυχῆς τὸ ἀκηλίδωτον Πάτερ, δι᾽ αἰσχρᾶς σοι μοναχῆς, μολύναι ἐπιτέθειται, ἀλλ᾽ ἥττηται εἰς τέλος, τῇ σῇ ἐνστάσει Φιλόθεε.

*Θεοτοκίον.*

Ὁ οὐρανὸς ὁ λογικός, ἐξ οὗ ἀνέτειλε κόσμῳ, ὁ τῆς δόξης καὶ ζωῆς τῆς ἀλήκτου, Ἥλιος ὁ παμφαής, Σὺ εἶ Παρθένε Ἄχραντε, διὸ οὐράνωσόν μου, τὴν γεωθεῖσαν διάνοιαν.

*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἡσύχως διήνυσας τὴν σὴν ἁγίαν ζωήν, νοὸς καθαρότητι καὶ ἀενάῳ εὐχῇ, Φιλόθεε Ὅσιε, ὅθε τῆς οὐρανίου, ἠξιώθης παστάδος, κάλλος τὸ τοῦ Σωτῆρος, καθορῶν σὺν Ἀγγέλοις, μεθ' ὧν ἀεὶ δυσώπει, ὑπὲρ τῶν τιμώντων σε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Θεὸν τὸν Ἀσώματον σωματωθέντα ἐκ Σοῦ, ἀφράστως κυήσασα καὶ μετὰ τόκον φρικτόν, ὡς ἧς πρὸ κυήσεως, ἄφθορος τηρηθεῖσα, Θεοτόκε Παρθένε, πάσης φθορᾶς με ῥῦσαι, καὶ παθῶν ἁμαρτίας, ὡς ἄν τὴν Σὴν δοξάζω πλουσίαν βοήθειαν.

*ᾨδὴ δ΄ Σύ μου ἰσχύς.*

Ὕδωρ ζωῆς, ἐν τῇ ψυχῇ σου δεξάμενος, σωτηρίου, ἐκ πηγῆς ὡς γέγραπται, ῥείθροις δακρύων ἐκκαθαρθείς, μολυσμῶν γηΐνων, ἔνθεν βλυστάνεις Φιλόθεε, τῆς χάριτος τῆς θείας, τὸν γλυκασμὸν τοῖς πᾶσι, τῶν παθῶν τὴν πικρίαν ἐξαίροντα.

Μετὰ σπουδῆς, Πνεύματι θείῳ κινούμενος, ἐν τῷ Ὄρει, τῷ τοῦ Ἄθῳ ἔδραμες, καὶ τὴν Μονὴν τὴν

περιφανῆ, τοῦ Προδρόμου μάκαρ, καταλαβών, ἐνδιέπρεψας, καμάτοις ἐναρέτοις, ἀφορῶν νοΐ ὅλῳ, πρὸς τὰ ἄνω Φιλόθεε Ὅσιε.

Ἐπιφανῶς, τῇ ἐγκρατείᾳ Φιλόθεε, καὶ συντόνῳ, προσευχῇ καὶ ἅπασι, τοῖς πρακτικοῖς τρόποις ἀρετῆς, ὄντως διαλάμπων, τῶν Μοναστῶν γέγονας, Μονῇ τῇ τοῦ Προδρόμου, πρὸς ζωὴν ἀνωτέραν, καὶ ἀνάβασιν Πάτερ τὴν κρείττονα.

*Θεοτοκίον.*

Πύλη ζωῆς, κλίμαξ πρὸς ὕψος ἀνάγουσα, Θεοτόκε, τοὺς Σὲ μεγαλύνοντας, ὤφθης τεκοῦσα ὑπερφυῶς, τὸν ἐκ τῆς κατάρας, ἡμᾶς τῆς πάλαι ῥυσάμενον, Χριστὸν τὸν Ζωοδότην, διὸ ζώωσον Κόρη, τὴν θανοῦσαν ψυχήν μου τοῖς πταίσμασι.

*Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.*

Ὁλικῶς ἀνανεύων, Ὅσιε Φιλόθεε νοὸς λαμπρότητι, πρὸς τὸν Νοῦν τὸν πρῶτον, τὴν πολλῶν συντυχίαν κατέλιπες, καὶ τὴν ἡσυχίαν, μεταδιώξας θερμῷ πόθῳ, θεωρίας εἰς ὕψος ἀνέδραμες.

Ἰσχὺν Πάτερ τὴν θείαν, περιεζωσμένος καρδίας στεῤῥότητι, τῆς σαρκὸς παρεῖδες, ἀσθένειαν πᾶσαν Φιλόθεε, καὶ τῆς τῶν δαιμόνων, ἐπιβουλῆς περιεγένου, ἡσυχίας ἐμπρέπων τοῖς σκάμμασιν.

Ἡδρασμένος ἐν πέτρᾳ, τῆς ὑπομονῆς Φιλόθεε Ὅσιε, καὶ ἐνατενίζων, πρὸς Χριστὸν τὸν δυνάμενον σώζειν σε, ἀῤῥαγὴς ἐδείχθης, ταῖς τῶν δαιμόνων ἐπηρείαις, καὶ τὸ θράσος αὐτῶν ἐθριάμβευσας.

*Θεοτοκίον.*

Σαρκωθεὶς ἀποῤῥήτως, ὁ ἀπεριόριστος φύσει Θεότητος, ἐκ τῶν Σῶν αἱμάτων, ἀνωτέραν Σε πάντων ἀνέδειξε, Κόρη τῶν κτισμάτων, διὸ ἀνώτερον τὸν νοῦν μου, τῆς φθαρτῶν προσπαθείας ἀνάδειξον.

*ᾨδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.*

Ὁσίως καὶ καθαρῶς, ἐν ἡσυχίᾳ ἐβίωσας, καὶ σκεῦος πανευπρεπές, τῆς χάριτος γέγονας, Φιλόθεε Ὅσιε, καὶ Ἁγίων πάντων κοινωνὸς καὶ ἰσοστάσιος.

Νοός σου τὸ ὀπτικόν, ἀνακαθάρας Φιλόθεε, δι’ ἐγκρατείας πολλῆς, καὶ πάσης ἀσκήσεως, καθορᾶν ἠξίωσαι, τὰ κρυπτὰ θεόφρον, ἐπιπνοίᾳ θείου Πνεύματος.

Πλήρης ὢν θείου φωτός, τοῦ ἱερέως ἑώρακας, τὸν ἐν ψυχῇ μολυσμόν, καὶ τοῦτον τοῖς λόγοις σου, διορθώσας Ὅσιε, ὡς Θεοῦ θεράπων, πρὸς μετάνοιαν ὡδήγησας.

*Θεοτοκίον.*

Ἀπειρογάμως Ἁγνή, τὸν Ποιητὴν πάσης κτίσεως, συνέλαβες ἐν γαστρί, καὶ τοῦτον ἐκύησας, ὑπὲρ νοῦν ὡς ἄνθρωπον, ἐπ᾽ ἀνακαινίσει, τῆς ἀνθρώπων φθαρτῆς φύσεως.

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Ὡς τῆς φιλίας τῆς ἐν κόσμῳ ξένον πέλοντα, καὶ τῆς ἐνθέου οἰκειώσεως μετέχοντα, ὁ Θεός σε ἐμεγάλυνε θεοφόρε. Ἀλλ᾽ ὡς φίλος τοῦ Σωτῆρος γνησιώτατος, τῆς φιλίας τῶν χειρόνων ἀπολύτρωσαι, τοὺς βοῶντάς σοι· χαίροις Πάτερ Φιλόθεε.

*Οἶκος.*

Ἄγγελος ἐν ἀσκήσει, ἀληθῶς ἀνεδείχθης, Φιλόθεε θεράπον Κυρίου, καὶ νῦν Ἀγγέλων δήμοις συνών, σὺν αὐτοῖς διὰ παντὸς καθικέτευε, πταισμάτων δοῦναι ἄφεσιν, τοῖς εὐλαβῶς σοι ἐκβοῶσι·

Χαῖρε, Ὁσίων τὸ ἐκμαγεῖον·

χαῖρε, ὁ ξένος τῶν ἐπιγείων.

Χαῖρε, τῆς φιλίας τοῦ κόσμου ὑπέρτερος·

χαῖρε, τῆς ἀγάπης Κυρίου ὁ ἔμπλεως.

Χαῖρε, δένδρον εὐθαλέστατον, ἀρετῶν ἀσκητικῶν·

χαῖρε, ἄνθος εὐωδέστατον, δωρεῶν πνευματικῶν.

Χαῖρε, ὅτι ἐν Ἄθῳ, ὡς ἀστὴρ διαλάμπεις·

χαῖρε, ὅτι καρδίας, Μοναστῶν καταυγάζεις.

Χαῖρε, Χριστοῦ τῆς δόξης, ὁ μέτοχος·

χαῖρε, ἡμῶν μεσίτης, ὁ ἔνθεος.

Χαῖρε, φωτὸς κοινωνὲ οὐρανίου·

χαῖρε, ἐχθροῦ καθαιρέτα δολίου.

Χαίροις Πάτερ Φιλόθεε.

*Συναξάριον.*

Τῇ ΚΑ΄ τοῦ αὐτοῦ Μηνός, μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν, Φιλοθέου, τοῦ ἀσκήσαντος ἐν τῷ Ὄρει τοῦ Ἄθῳ, καὶ δὴ ἐν τῇ ἐκεῖσε Ἱερᾷ Μονῇ τοῦ Ὁσίου Διονύσιου, τῇ ἐπ’ ὀνόματι τοῦ Προδρόμου τιμωμένη, καταγομένου ἐκ Χρυσουπόλεως τῆς Μακεδονίας.

*Ζήσας ο Φιλόθεος ως Θεώ φίλον,*
*Ζωήν άληκτον εύρε συν Θεού φίλοις.*

*Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.*

Τὴν πάντιμον Κάραν σου, περικυκλοῦντες Πάτερ Φιλόθεε, ἀσπαζόμεθα ταύτην, ἐν κατανύξει καὶ ἐκβοῶμέν σοι· δίδου ἡμῖν ἱκεσίαις σου Ἅγιε, ἀποτροπὴν καὶ ἰσχύν, κατὰ παντοίων παθῶν.

Ἐνθέως τελέσας σου, τὸν τῆς ἀσκήσεως δρόμον Ἅγιε, ἐκοιμήθης ὁσίως, καὶ τῶν Ἁγίων δήμοις συντέταξαι,

τὸ δὲ σεπτόν σου καὶ ἅγιον σκήνωμα, ἐῤῥίφθη ἐν τῷ δρυμῷ, τῇ σῇ σεπτῇ ἐντολῇ.

Ῥημάτων τῆς γλώττης σου, οἱ φοιτηταί σου Πάτερ Φιλόθεε, πληρωταὶ γεγονότες, τὸ θεῖον σκῆνός σου ἐναπέῤῥιψαν, ἔνδον τοῦ δάσους βοῶντες σὺν δάκρυσι· μὴ καταλίπῃς ἡμᾶς, Πάτερ τὰ τέκνα σου.

*Θεοτοκίον.*

Γενοῦ μοι Πανάμωμε, τεῖχος καὶ σκέπη καὶ καταφύγιον, τὰς πικρὰς ἐπιθέσεις, τοῦ παναλάστορος ἀποτρέπουσα, τὰς κατ᾽ ἐμοῦ τοῦ ἀχρείου ἱκέτου Σου, δι᾽ ὧν πειρᾶται Ἁγνή, τοῦ ἀπολέσαι με.

*ᾨδὴ η´. Ἑπταπλασίως κάμινον.*

Ἐν τῷ πυρὶ Φιλόθεε, τῆς συντόνου ἀσκήσεως, ἅπασαν τὴν ὕλην τῶν παθῶν ἠνάλωσας, καὶ φέγγος οὐράνιον, τῆς ἀπαθείας δέδεξαι, ἐν τῇ σῇ ψυχῇ, ὡς καθαρὸς τῇ καρδίᾳ, καὶ ἔλαμψας ἐν Ἄθῳ, ὡς ἀστὴρ ἑωσφόρος, τοὺς Μοναστὰς πρὸς κτῆσιν, προτρέπων τῶν κρειττόνων.

Ῥήσεσι τῶν χειλέων σου, πειθαρχοῦντες Φιλόθεε, οἱ σοὶ φοιτηταὶ τὸ θεοφόρον σκῆνός σου, εἰς ἄλσος ἀπέῤῥιψαν, ἵνα τιμῆς τῆς κρείττονος, ἐν τοῖς οὐρανοῖς, καὶ μειζοτέρας εὐκλείας, συνόμιλος ὀφθήσῃ, ὃ καὶ γέγονε Πάτερ, λαμπρῶς γὰρ ἐδοξάσθης, ἐν γῇ καὶ ἐν πόλῳ.

Ἁγιασμὸν πηγάζουσα, τῇ τοῦ Πνεύματος χάριτι, καὶ φωτὶ ἁγίῳ Πάτερ ἀπαστράπτουσα, ἡ πάντιμος Κάρα σου, ἔνδον τοῦ δάσους εὕρηται, καὶ ὡς θησαυρός, τοῖς μαθηταῖς σου ἐδόθη, ἣν πίστει προσκυνοῦντες, λαμβάνομεν ἐκ ταύτης, ἰσχὺν καὶ εὐλογίαν, καὶ θέρμην οὐρανίαν.

*Θεοτοκίον.*

Σεσαρκωμένον τέτοκας, ἐξ ἀχράντων αἱμάτων Σου, τὸν Δημιουργὸν τῆς ἀνθρωπίνης φύσεως, γενόμενον ἄνθρωπον, δίχα τροπῆς καὶ φύρσεως, σώζοντα ἡμᾶς, τοὺς εὐλαβῶς Σοι βοῶντας, Παρθένε Θεοτόκε· χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη, εἰς πάντας τοὺς αἰῶνας.

*Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Ἰσχύϊ δυναμούμενος θεϊκῇ, τὸ ἀνίσχυρον θράσος κατέβαλες, τοῦ δυσμενοῦς, Πάτερ καὶ ἀσκήσεως τὸν καλόν, ἀγῶνα ὡς ἐτέλεσας, ἤρθης πρὸς τὰ ἄνω διαμονάς, καὶ σύσκηνος Ἁγίων, Φιλόθεε ἐγένου, ὡς μιμητὴς αὐτῶν ἐν ἅπασι.

Μὴ παύσῃ περιέπων καὶ εὐλογῶν, ἐκ τῶν ἄνω δωμάτων Φιλόθεε, ὡς συμπαθής, μετὰ τὸν Προφήτην καὶ Βαπτιστήν, ταύτην τὴν Μάνδραν Ὅσιε, ἧς φυτὸν τυγχάνεις πανευθαλές, ὁμοῦ δὲ τῇ πατρίδι, τῇ σῇ αἴτει ἀπαύστως, παρὰ Κυρίου θεῖον ἔλεος.

Ὁ φίλος φερωνύμως καὶ ἐκλεκτός, τοῦ Σωτῆρος θεράπων Φιλόθεε, τῆς τῶν παθῶν, ῥῦσαί με φιλίας τῆς μοχθηρᾶς, καὶ φίλον με ἀνάδειξον, πάσης ἐναρέτου διαγωγῆς, δεχόμενος ὡς δῶρον, μικρὸν τὸν ὕμνον τοῦτον, ὃν ἐκ καρδίας σοι προσήγαγον.

*Θεοτοκίον.*

Ὑψίστου ἐνδιαίτημα φωταυγές, Θεοτόκε Παρθένε Πανύμνητε, Μῆτερ Θεοῦ, οἶκόν με ἀνάδειξον ἀρετῶν, ἰλύος ἐκκαθάρασα, πάσης τῆς καρδίας μου σαρκικῆς, καὶ σῶσόν με μανίας, ἐχθροῦ τοῦ καθ’ ἑκάστην, ἐκπολεμοῦντός μοι πρὸς ὄλεθρον.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Ἀσκητικῶςἐν Ἄθωνι, Φιλόθεε διέλαμψας, ἐν ἐγκρατείᾳ ἁπάσῃ, καὶ προσευχῇ καὶ νηστείᾳ, καὶ φίλος ἐχρημάτισας, Θεοῦ τοῦ Παντοκράτορος, Ὃν ἐκδυσώπει Ὅσιε, ὑπὲρ ἡμῶν τῶν τιμώντων, τὴν φωτοφόρον σου μνήμην.

*Θεοτοκίον.*

Ἀφράστως ἀπεκύησας, τὸν Ποιητὴν τῆς κτίσεως, καὶ μετὰ τόκον Παρθένος, διέμεινας ὡς πρὸ τόκου, Παρθένε Ἀειπάρθενε, ἀνθρώπων ἀνακαίνισις, διὸ τὰ μεγαλεῖά Σου, χρεωστικῶς ἀνυμνοῦμεν, οἱ διὰ Σοῦ σεσωσμένοι.

*Αἶνοι. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Ὅσιε, Πάτερ Φιλόθεε, κλήσει τῇ σῇ προδηλῶν, ὅπερ γέγονας ὕστερον, βίου καθαρότητι, ἐν ἀσκήσει διέπρεψας, καὶ φίλος ὤφθης Ὃνπερ ἠγάπησας, καὶ δι᾽ Ὃν πάντα κόσμον κατέλιπες, ὅθεν ἱκέτευε, δοῦναι ἡμῖν ἄφεσιν ἁμαρτιῶν, τοῖς πανηγυρίζουσι, τὴν θείαν μνήμην σου.

Ὅσιε, Πάτερ Φιλόθεε, ἐν ταπεινώσει πολλῇ, τὸν σὸν βίον διήνυσας, καὶ φωτὶ διέλαμψας, ἀπαθείας ἐν Ἄθωνι, ὅθεν ὡς πλοῦτον τῆς θείας χάριτος, τὴν σὴν ἁγίαν, Κάρα κατέχοντες, ταύτῃ προσπίπτομεν, καθαγιαζόμενοι τῇ ἐξ αὐτῆς, προϊούσῃ χάριτι, ψυχὰς καὶ σώματα.

Ὅσιε, Πάτερ Φιλόθεε, Ἀγαρηνῶν τῆς χειρός, θαυμαστῶς σε ἐῤῥύσατο, ἡ Παρθένος Δέσποινα, ἐμφανῶς ἐποφθεῖσά σοι, ὅθεν Κυρίῳ ἀπὸ νεότητος, ἐνθέῳ γνώμῃ κατηκολούθησας, βίον ἰσάγγεον, μετελθὼν ἐν σώματι ὅθεν ζωῆς, τῆς ἀλήκτου μέτοχος ἄξιος γέγονας.

Ὅσιε, Πάτερ Φιλόθεε, σὲ ὡς φυτὸν εὐθαλές, ἡ Χρυσούπολις ἤνεγκε, τοὺς καρποὺς τοῦ Πνεύματος, μυστικῶς προβαλλόμενον, ὅθεν Καβάλα ἡ πόλις σήμερον, ἀγαλλιᾶται τῇ θείᾳ μνήμῃ σου, ἣν ἀεὶ φύλαττε, πάσης περιστάσεως ταῖς σαῖς λιταῖς, ταύτῃ παρεχόμενος τὴν εὐλογίαν σου.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τῇ φερωνύμῳ κλήσει, νουνεχῶς ἑπόμενος, φίλος ἐδείχθης Θεοῦ, τῇ ἐναρέτῳ ζωῇ σου Φιλόθεε Ὅσιε, ἐν ἀρεταῖς γὰρ διέλαμψας, δι᾽ ἀσκητικῆς πολιτείας, τῆς σαρκὸς νεκρώσας τὸ φρόνημα, καὶ τῶν ὑπὲρ νοῦν δωρεῶν ἐπληρώθης, ἀνακαθάρας τὸν νοῦν, τῆς τῶν παθῶν ἀχλύος καὶ συγχύσεως. Διὸ Καβάλα ἡ φιλόχριστος πόλις, καυχωμένη τῇ δόξῃ σου, φαιδρῶς ἑορτάζει τὴν μνήμην σου, δοξάζουσα Χριστόν, τὸν παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου...

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ κανόνος τοῦ Ὁσίου ἡ γ΄ καὶ στ΄ ᾠδή.

Ἀπόστολον καὶ Εὐαγγέλιον τοῦ Ἁγίου Σάββα, ε΄ Δεκεμβρίου.

Κοινωνικόν: *Εἰς μνημόσυνον αἰώνιον, ἔσται δίκαιος Ἀλληλούϊα.*

*Μεγαλυνάριον.*

Χαίροις Χρυσουπόλεως ὁ βλαστός, καὶ Μονῆς Προδρόμου τῆς ἐν Ἄθῳ ἄνθος σεπτόν, χαίροις ὁ Κυρίῳ, ἀσκητικῶς δουλεύσας, Φιλόθεε τρισμάκαρ, Ἀγγέλων σύσκηνε.

*Δίστιχον:*

*Φιλόθεε ῥῦσαί με παθῶν φιλίας,*

*Γεράσιμον μέλψαντα σὴν πολιτείαν.*

